φιλόπονον· ἂν δειλόν, ἔγειρε μᾶλλον τὸ ἀνδρῶδες καὶ θαρρα-
λέον· κἂν ἀσελγῆ καὶ ἀκόλαστον, ἐξάλειφε τῆς ψυχῆς εἴ τι
λανθάνον ἐστὶ φιληδονίας ἴχνος. οὐδὲν γὰρ αἴσχιόν ἐστι
βλασφημίας παλινδρομούσης οὐδὲ λυπηρότερον, ἀλλ' ἔοικε καὶ
τοῦ φωτὸς τὸ ἀνακλώμενον μᾶλλον ἐνοχλεῖν τὰς ἀσθενεῖς
ὁράσεις καὶ τῶν ψόγων οἱ πρὸς αὐτοὺς ἀναφερόμενοι τοὺς
ψέγοντας ὑπὸ τῆς ἀληθείας. ὡς γὰρ ὁ καικίας τὰ νέφη, καὶ
ὁ φαῦλος βίος ἐφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας.

5. Ὁ μὲν οὖν Πλάτων ὁσάκις ἀσχημονοῦσιν ἀνθρώποις
παραγένοιτο, πρὸς αὑτὸν ἀπιὼν εἰώθει λέγειν 'μή πη ἄρ' ἐγὼ E
τοιοῦτος;' ὁ δὲ λοιδορήσας τὸν ἑτέρου βίον ἂν εὐθὺς ἐπισκοπῇ
τὸν ἑαυτοῦ καὶ μεθαρμόττῃ πρὸς τοὐναντίον ἀπευθύνων καὶ
ἀποστρέφων, ἕξει τι χρήσιμον ἐκ τοῦ λοιδορεῖν, ἄλλως ἀχρή-
στου καὶ κενοῦ δοκοῦντος εἶναι καὶ ὄντος. οἱ μὲν οὖν πολλοὶ
γελῶσιν, ἄν τις ὢν φαλακρὸς ἢ κυρτὸς ἑτέρους εἰς ταῦτα
λοιδορῇ καὶ σκώπτῃ, γελοῖον δ' ὅλως ἐστὶ τὸ λοιδορεῖν καὶ
σκώπτειν ὁτιοῦν ἀντιλοιδορηθῆναι δυνάμενον· ὡς Λέων ὁ
Βυζάντιος ὑπὸ τοῦ κυρτοῦ λοιδορηθεὶς εἰς τὴν τῶν ὀμμάτων
ἀσθένειαν 'ἀνθρώπινον' ἔφη 'πάθος ὀνειδίζεις, ἐπὶ τοῦ νώτου F
φέρων τὴν νέμεσιν'. οὐκοῦν μηδὲ μοιχὸν λοιδορήσῃς, αὐτὸς
ὢν παιδομανής· μηδὲ ἄσωτον, αὐτὸς ὢν ἀνελεύθερος.

'ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς' (Tr. ad. 358)

πρὸς τὸν Ἄδραστον ὁ Ἀλκμέων· τί οὖν ἐκεῖνος; οὐκ ἀλλό-
τριον ἀλλ' ἴδιον αὐτῷ προφέρων ὄνειδος

'σὺ δ' αὐτόχειρ γε μητρὸς ἥ σ' ἐγείνατο'. 89

πρὸς τὸν Κράσσον ὁ Δομίτιος 'οὐ σὺ σμυραίνης ἐν ζωγρείῳ
σοι τρεφομένης εἶτα ἀποθανούσης ἔκλαυσας;' καὶ ὁ ἕτερος
'οὐ σὺ τρεῖς γυναῖκας ἐκκομίσας οὐκ ἐδάκρυσας;' οὐκ εὐφυᾶ
δεῖ τὸν λοιδορησόμενον εἶναι καὶ μεγαλόφωνον καὶ ἰταμόν,